τῶν εἰσεληλυθότων κακῶν τέθηπε, δορυφορούμενον ὑπ᾽ αὐτῶν, καὶ πάντα πρότερον πάθοι ἄν, ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν.

ΕΡΜ. Ὡς δὲ λεῖος εἶ, ὦ Πλοῦτε, καὶ ὀλισθηρὸς, καὶ δυσκάθεκτος, καὶ διαφευκτικὸς, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ᾽ ὥσπερ αἱ ἐγχέλεις, ἢ οἱ ὄφεις, διὰ τῶν δακτύλων δραπετεύεις οὐκ οἶδα ὅπως· ἡ Πενία δ᾽ ἔμπαλιν ἰξώδης τε καὶ εὐλαβὴς[76], καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι, καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι. Ἀλλὰ μεταξὺ ἤδη φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ μικρὸν διέλαθε.

ΠΛΟΥΤ. Τὸ ποῖον;

ΕΡΜ. Ὅτι τὸν Θησαυρὸν οὐκ ἐπηγαγόμεθα, οὗπερ ἔδει μάλιστα.

ΠΛΟΥΤ. Θάῤῥει τούτου γε ἕνεκα· ἐν τῇ γῇ αὐτὸν καταλείπων, ἀνέρχομαι πρὸς ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενὶ, ἢν μὴ ἐμοῦ ἀκούσῃ βοήσαντος.

ΕΡΜ. Οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς· καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρις ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι.

ΠΛΟΥΤ. Εὖ ποιεῖς, ὦ Ἑρμῆ, χειραγωγῶν· ἐπεὶ ἤν γε ἀπολίπῃς με, Ὑπερβόλῳ τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν. Ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι, καθάπερ σιδήρου πρὸς λίθον;

ΕΡΜ. Ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον· παπαὶ, καὶ ἡ Πενία πάρεστι, καὶ ὁ Πόνος ἐκεῖνος· ἡ Καρτερία δὲ, καὶ ἡ Σοφία, καὶ ἡ Ἀνδρία, καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων[77], πολὺ ἀμείνους[78] τῶν σῶν δορυφόρων.

ΠΛΟΥΤ. Τί οὖν οὐκ ἀπαλλαττόμεθα, ὦ Ἑρμῆ, τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον.

ΕΡΜ. Ἄλλως ἔδοξε τῷ Διΐ· μὴ ἀποδειλιῶμεν οὖν.

ΠΕΝ. Ποῖ τοῦτον ἀπάγεις, ὦ Ἀργειφόντα, χειραγωγῶν;

ΕΡΜ. Ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός.

ΠΕΝ. Νῦν ὁ Πλοῦτος ἐπὶ Τίμωνα[79], ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς Τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα, τῇ Σοφίᾳ καὶ τῷ Πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ὑμῖν ἡ Πενία δοκῶ, καὶ εὐαδίκητος, ὥσθ᾽ ὃ μόνον κτῆμα εἶχον, ἀφαιρεῖσθαί με, ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν᾽ αὖθις ὁ Πλοῦτος παραλαβὼν αὐτὸν, Ὕβρει καὶ Τύφῳ ἐγχειρίσας, ὅμοιον τῷ πάλαι, μαλθακὸν, καὶ ἀγεννῆ, καὶ ἀνόητον ἀποφήνας, ἀποδῷ πάλιν ἐμοὶ ῥάκος[80] ἤδη γεγενημένον;

ΕΡΜ. Ἔδοξε ταῦτα, ὦ Πενία, τῷ Διΐ.

ΠΕΝ. Ἀπέρχομαι· καὶ ὑμεῖς δὲ, ὦ Πόνε, καὶ Σοφία, καὶ οἱ λοιποὶ, ἀκολουθεῖτέ μοι· οὗτος δὲ τάχα[81] εἴσεται[82], οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν, καὶ διδάσκαλον τῶν ἀρίστων· ἧ συνὼν, ὑγιεινὸς μὲν τὸ σώ-

---

76) Εὔληπτος ταῖς χερσὶν, εὐκολόπιαστος. 77) Διότι ὑποτίθενται λιμοκτονοῦντες συνήθως οἱ ἐνάρετοι. 78) Καθὸ ῥωμαλεότεροι καὶ ὑγιέστεροι. 79) (Ἐνν.) πέμπεται.
80) Ἄχρηστον δηλ. ὡς τὰ ῥάκη. 81) Ταχέως. 82) Οἶδα.